Hippolytus pleads with Theseus; Theseus remains firm.

Ἱππόλυτος	οἴμοι, τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
	δέξῃ καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;
Θησεύς	πέραν γε πόντου καὶ τόπων Ἀτλαντικῶν,
	εἴ πως δυναίμην, ὡς σὸν ἐχθαίρω κάρα.
Ἱππόλυτος	οὐδ' ὅρκον οὐδὲ πίστιν οὐδὲ μάντεων
	φήμας ἐλέγξας ἄκριτον ἐκβαλεῖς με γῆς;
Θησεύς	ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη
	κατηγορεῖ σου πιστά· τοὺς δ' ὑπὲρ κάρα
	φοιτῶντας ὄρνις πόλλ' ἐγὼ χαίρειν λέγω.
Ἱππόλυτος	ὦ θεοί, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,
	ὅστις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
	οὐ δῆτα· πάντως οὐ πίθοιμ' ἂν οὕς με δεῖ,
	μάτην δ' ἂν ὅρκους συγχέαιμ' οὓς ὤμοσα.
Θησεύς	οἴμοι, τὸ σεμνὸν ὥς μ' ἀποκτενεῖ τὸ σόν.
	οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;
Ἱππόλυτος	ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνος ξένων
	δόμους ἔσειμι, τῇδ' ἐπ' αἰτίᾳ φυγών;
Θησεύς	ὅστις γυναικῶν λυμεῶνας ἥδεται
	ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.

Euripides Hippolytus 1051-1069

1A 1 2004 Seen